†Ἐπεὶ οἱ ἐνασκούμενοι μοναχοὶ τῇ κατὰ | 2 τὴν νῆσον τὴν Πάτμον σεβασμίᾳ μονῇ, |3 τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ ἐν ἀποστόλοις | 4 ἠγαπημένου τῷ Σ(ωτῆ)ρι Χ(ριστ)ῷ παρθένου Ἰωάννου | 5 τοῦ Θεολόγου, ἐνεφάνισαν εἰς τὴν βασιλεί|6αν μου χρυσόβουλλον τοῦ ἁγίου μου αὐθέντου | 7 καὶ βασιλέως τοῦ πάππου μου, προστάσσον | 8 καὶ διοριζόμενον κατέχεσθαι παρὰ τῆς |9 κατ' αὐτοὺς τοιαύτης σεβασμίας | 10 μονῆς πάντα τὰ προσόντα αὐτῇ καὶ | 11 κατὰ μέρος ἐν αὐτῷ τῷ χρυσοβούλλῳ | 12 διαλαμβανόμενα, ἀνενοχλήτως καὶ ἀδια|13σείστως καὶ ἀναφαιρέτως καὶ ἀναποσπάστως, |14 ἃ δὴ καὶ ἔχουσιν οὕτω· ἡ δηλωθεῖσα νῆσος | 15 ἡ Πάτμος κατὰ τὴν καθόλου δεσποτείαν καὶ | 16 κυριότητα, ὡς εὑρίσκεται, κατεχομένη παρ' |17 αὐτῶν τῶν μοναχῶν· τὰ περὶ αὐτὴν δύο νησίδια, | 18 τὸ τῆς Λειψοῦς καὶ τὸ Ἀγαθονήσιον λεγόμενα· | 19 περὶ τὸν Μαίανδρον μετόχιον ὁ Πῦργος μετὰ |20 τῶν προσόντων αὐτῷ δικαίων καὶ τὸ πλησί|21ον τούτου χωράφιον, τὸ τῆς Γωνίας ἐπονομαζό|22μενον, ὡσεὶ ζευγαρίων ὂν τεσσάρων· μετό| 23χιον ἐν τῇ νήσῳ Κῷ, εἰς ὄνομα τιμώμενον |24 τῆς πανυπεράγνου δεσποίνης καὶ θεομή|25τορος καὶ ἐπικεκλημένον τῶν Σπονδῶν, | 26 μετὰ τῶν προσόντων αὐτῷ δικαίων, ἤγουν τῶν | 27 χωραφίων τῶν ἐν τοῖς Περιπάτοις, τοῖς | 28 Πετρωρείοις καὶ τοῖς τῆς Ἀντιμαχίας, | 29 ἔτι δὲ καὶ τοῦ μυλωνος, τοῦ περιελθόντος | 30 τῇ μονῇ ἐκ προσενέξεως τοῦ Διογένους | 31 καὶ διακειμένου ἐν τοῖς τοῦ Εὐδρομαρίου | 32 καὶ τῶν ἐν τῷ αὐτῷ μετοχίῳ προσκαθημέν(ων) | 33 ξένων καὶ τῷ δημοσίῳ ἀνεπιγνώστων· ἐν | 34 τῇ αὐτῇ νήσῳ Κῷ ἕτερον μετόχιον, λεγόμενον τὸ | 35 τοῦ Ἄλσους μετὰ τῶν προσόντων αὐτῷ δικαίων, |36 ὃ δὴ ἦν μὲν παλαί ποτε τῆς μονῆς, προσεκυρώ|37θη δ' αὐτῇ καὶ διὰ τιμίου π(ατ)ριαρχικαοῦ γράμματος· | 38 ἕτερον μετόχιον, εἰς ὄνομα τιμώμενον τοῦ |39 δεσπότου Σ(ωτῆ)ρ(ος) Χ(ριστο)ῦ, προσὸν τῇ μονῇ διὰ γράμμ(α)τος |40 τοῦ ἁγιωτάτου π(ατ)ριάρχου τοῦ κῦρ Ἀρσενίου ἐκείν(ου)· |41 τὰ ἐν τῇ νήσῳ Λέρνῳ δυο μετόχια τῆς | 42 αὐτῆς σεβασμίας μονῆς, ὧν τὸ μὲν ἓν |43 ἐπονομάζεται Παρθένιον, τὸ δὲ ἕτερον Τεμένεια, | 44 μετὰ τῶν προσόντων αὐτοῖς ἀνέκαθεν δικαίων | 45 καὶ τῶν ἐν αὐτοῖς προσκαθημένων παροίκων καὶ | 46 δουλευτῶν· καὶ εἰς τὸ Φύγελον μετόχιον, | 47 τὸ εἰς ὄνομα τιμώμενον τοῦ μεγαλομάρτυ|48ρος ἁγίου Γεωργίου· ἐζήτησαν δὲ τὴν βασιλ(είαν) | 49 μου οἱ εἰρημένοι μοναχοὶ πορίσασθαι τούτων |50 χάριν καὶ χρυσόβουλλον αὐτῆς· ἡ βασιλεί|51α μου, εὐμενῶς προσηκαμένη τὴν τοιαύτην |52 αὐτῶν ζήτησιν, ἐπιχορηγεῖ αὐτοῖς καὶ |53 ἐπιβραβεύει τὸν παρόντα χρυσό|54βουλλον **λόγον**, δι' οὗ προστάσσει |55 καὶ διορίζεται κετέχειν καὶ εἰς το ἑξῆς | 56 τὴν διαληφθεῖσαν σεβασμίαν μονὴν πάντα | 57 τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα καὶ |58 ἀνέκαθεν προσόντα αὐτῇ ἀνενοχλήτως πάντῃ | 59 καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ | 60 ἀναποσπάστως, κατὰ τὴν περίληψιν τοῦ τε | 61 χρυσοβούλλου τοῦ ἁγίου μου αὐθέντου καὶ |62 βασιλέως τοῦ πάππου μου καὶ τῶν ἑτέρων |63 δικαιωμάτων τῶν προσόντων αὐτῇ καὶ καθὼς |64 εὑρίσκεται κατέχουσα ταῦτα καὶ μέχρι | 65 του νυν· ὅθεν καὶ τῇ δυνάμει καὶ ἰσχύι τοῦ | 66 παρόντος χρυσοβούλλου **λόγου** τῆς | 67

βασιλείας μου, καθέξει δὴ καὶ νεμηθήσεται |68 ταῦτα πάντα ἡ δηλωθεῖσα σεβασμία |69 μονή, κατά τε τὸν ἀνωτέρω εἰρημένον τρόπον | 70 καὶ ἐκτὸς πάσης ἐπηρείας καὶ ὀχλήσεως, | 71 οὐδενὸς τῶν ἁπάντων, οὔτε τῶν δημοσίων, | 72 οὔτε τῶν ἄλλων ἕξοντος ἄδειαν ἢ τολμήσοντος | 73 ὅλως ἐπάγειν αὐτοῖς ἐπήρειαν καὶ λυμην ἢ | 74 ἄλλην τινὰ βλάβην καὶ κατατριβὴν καὶ ἐπι|75θεσιν· βούλεται γὰρ δὴ καὶ θεσπίζει ἡ βασιλεία | 76 μου κατέχεσθαι ταῦτα πάντα τὰ ἀνωτέρω | 77 εἰρημένα κατὰ μέρος παρ' αὐτῆς τῆς σεβασ| 78μίας μονῆς οὕτως, καθὰ δὴ προστάσσει | 79 καὶ διορίζεται· τούτου γὰρ χάριν ἐγένετο | 80 καὶ ἐπεχορηγήθη τῇ διαληφθείσῃ |81 σεβασμία μονῆ καὶ ὁ παρὼν | 82 χρυσόβουλλος **λόγος** τῆς | 83 βασιλείας μου, ἀπολυθεὶς κατὰ | 84 μῆνα **Ἰαννουάριον**, τῆς ἐνισταμένης | 85 **δωδεκάτης** ἰνδικτιῶνος, τοῦ | 86 ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ | 87 **τριακοστοῦ ἑβδόμου** ἔτους, ἐν ᾧ καὶ | 88 τὸ ἡμέτερον εὐσεβὲς |89 καὶ θεοπρόβλητον ὑπεσημήνατο |90 κράτος.

**†Ἀνδρόνικος ἐν Χ(ριστ)ῷ τῷ Θ(ε)ῷ | 91 πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαί(ων)**
**92 ὁ Παλαιολόγος †**

**Verso:**
**†ἐγεγόνει κ(α)τὰ μῆνα Ἰαννουάρ(ιον) τ(ῆς) δωδεκάτ(ης) (ἰνδικτιῶνος)†**